Περὶ τῶν πινακικῶν ἐκθέσεων καὶ ἀστρονομικῆς πραγματείας Ἐράσμου τοῦ Ῥαϊνόλδου, πρὸς τοὺς ἐντυγχάνοντας.

Ἐνθάδ' ἀποστήσας πόνον ἀτλάντειον Ἐρασμὸς
ἦχ' ὅσ' ἔρεξε παθὼν Ἀμφιτρυωνιάδης,
οὐρανὸν εἰδυίαις περιείληφεν πραπίδεσσι,
σφαιρέων ξυνελὼν ῥόμβον ἑλισσομένων.
ἔνθεν τῆς τέχνης ἐπιίστωρ ἠρέμ' ἀριθμῶν
γνώσεται ἀενάου πείρατ' ἄληκτα χρόνου.
γραπτοὺς τ' αἰθερίων ταῖσδ' ἐν δέλτοισι νοήσει
ἀστροθέτους γυρῶν πουλυπτύχων κανόνας.
ἀλλὰ σὺ μὴ πρὰ τὰς πρότερον τασδὶ παραβάλλου,
πουλυμαθεῖς καὐτὰς καίπερ ἔχων σελίδας,
οὗτος γὰρ κάματος πολὺ φέρτερος ἐστὶν ἐκείνων,
καὶ γὰρ ἀληθείης ἔγγυθι μᾶλλον ἔβη.
αὐτὸ δὲ δείξει πρᾶγμα, καὶ εἴσεται εἴ τις ἀνέγνω,
σοί τ' ἐρέει τούτων οὕνεκ' Ἐρασμέ, χάρις.
ὃς δ' ἐρέει φίλος οὐρανίης τὶς ἐὼν ἄρα μούσης,
χρυσομανεῖς δ' ἄλλοι χρήματ' ἕλοιντο φρύγος.

Ἰωαχείμου Καμερ.

Ἐπίγραμμα περὶ τῶν πινακικῶν ἐκθέσεων τοῦ Ἐράσμου Ῥαϊνόλδου πρὸς τοὺς ἐντυγχάνοντας.

Παμμεγεθὲς κέρδος τεχνήματ' ἔχουσιν ἅπαντα,
ἆθλα, πόνων τε κλέος, κἄλλα βραβεῖα ὁμῶς
οἱ πάμπολλοι θαυμάζουσιν ἐκεῖνα, μαθόντες
ὑμνέουσιν ἄγαν καίπερ ἐόντα μικρὰ
ἥδε μόνη τέχνη, ἣ τοὔνομα ἄστρα ἔδωκαν,
ἡ πολλῶν ἄλλων χρηστοτέρα πέλεται:
πάντως χλευασθεῖσα, διαβληθεῖσά τε κεῖται
ἀκλεὴς ἐσ', ἄξιος τ' ἀντὶ πόνων μεγάλων.
παῦροι τήνδε ἐπιστήμην ζητοῦσιν ἐοῦσαν
καίπερ ἀναγκαίαν, καὶ μάλα εὐπρόσοδον.

Τῶν ἡμῶν